ἐγώ φημι τὴν ῥητορικὴν εἶναι, ἀκήκοας· ἀντίςροφον ὀψοποιΐας ἐν ψυχῇ, ὡς ἐκεῖνο ἐν σώματι. s) ἴσως μὲν οὖν ἄτοπον πεποίηκα, ὅτι σε οὐκ ἐῶν μακροὺς λόγους λέγειν, αὐτὸς μακρὸν t) λόγον ἀποτέτακα. ἄξιον μὲν οὖν ἐμοὶ ξυγγνώμην ἔχειν ἐςί. v) λέγοντος γάρ μου βραχέα, οὐκ ἐμάνθανες, οὐδὲ χρῆσθαι τῇ ἀποκρίσει, ἥν σοι ἀπεκρινάμην, οὐδὲν οἷός τ' ἦσθα x), ἀλλὰ ἐδέου διηγήσεως. ἐὰν μὲν οὖν καὶ ἐγὼ σοῦ ἀποκρινομένου μὴ y) ἔχω ὅ, τι χρήσωμαι, ἀπότεινε καὶ σὺ λόγον· ἐὰν δὲ ἔχω, ἔα με χρῆσθαι. δίκαιον γάρ. καὶ νῦν ταύτῃ τῇ ἀποκρίσει εἴ τι ἔχεις χρῆσθαι, χρῶ.
21 ΠΩΛ. Τί οὖν φής; κολακεία δοκεῖ σοι a) εἶναι ἡ ῥητορική; ΣΩ. Κολακείας μὲν οὖν ἔγωγε εἶπον μόριον. ἀλλ' οὐ μνημονεύεις τηλικοῦτος ὤν, ὦ Πῶλε; τί τάχα δράσεις πρεσβύτης γενόμενος; ΠΩΛ. Ἆρ' οὖν δοκοῦσί σοι ὡς κόλακες ἐν ταῖς πόλεσι φαῦλοι νομίζεσθαι

s) Haec etiam inde a verbis ὃ μὲν οὖν ἐγώ φημι leguntur apud Thom. Magistr. l. l. Statim οὖν post μὲν in Bas. 2. desideratur. male, opinor. Vid. Ind. in Μὲν.

t) Cod. vterque, it. Bas. 2. συχνὸν, etiam margo Stephan.

v) Cod. vterque ἄξιον μὲν οὖν συγγνώμης ἐςτί. Contra Ficinus: *vbi tamen venia dignus sum.* tanquam legerit ἄξιος μὲν οὖν συγγνώμης εἰμί. Sed sensum expressit.

x) Particulam τε e Cod. vtroque reuocaui in ordinem post οἷος, cum desit in editis libris. Pro ἦσθα in Ald. Bas. 1. 2. male est οἶσθα.

y) Bas. 2. habet οὐκ pro μὴ. Cod. Meerm. χρήσομαι, aeque vitiose, atque Cod. Aug. ἀπόκτεινε pro ἀπότεινε.

a) Cod. vterque σοι δοκεῖ. Bas. 1. 2. κολακία et post κολακίας. De qua scriptura egit Doruill. ad Chariton. p. 446. vbi plura nomina afferuntur, in quibus ει cum ι variat.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id379444410/104 gefördert von der Deutschen Forschungsgemeinschaft DFG